UNIVERSITÄTS-
BIBLIOTHEK
PADERBORN

Epistolai tu hagiu Isidōru tu Pēlusiōtu

Isidorus <Pelusiota>

Parisiis, 1585

Agatho Presbytero. 27.

urn:nbn:de:hbz:466:1-71898

Visual Library

Κασίῳ πρεσβυτέρῳ. κϛ.

Οὐκ ἔστιν, ὦ βέλτιστε, δεινόν, τὸ δεινὰ πράξαντας, δεινὰ καὶ παθεῖν. τὸ δὲ μηδὲν δεινὸν πράξαντας, δεινὰ παθεῖν, πάντη δεινότατον. πῶς οὖν τοῖς ἐγκαλοῦσι περὶ τούτου ἀπολογησαίμεθα; οἶμαι οὐδαμῶς ἄλλως, ἢ περὶ μὲν τῶν πρώτων λέγοντες, ὅτι δικαίως· περὶ δὲ τῶν δευτέρων, ὅτι δοκίμως. ἡ γὰρ δίκη τοὺς μὲν ἠμύνατο, τοῖς δὲ στεφάνων ὑπόθεσιν προυξένησεν. οἱ γὰρ γένεσιν ὁριζόμενοι, περὶ ἀμφοτέρων ἀπορήσουσιν ἀποκρίνασθαι. οὐ γὰρ δίκαιον, οὔτε τὸν ἀναγκασθέντα δρᾶσαί τινα, οὔτε τὸν μηδὲν δράσαντα δεινόν, δεινὰ παθεῖν. οἱ δὲ πρόνοιαν εἶναι διαβεβαιούμενοι, καὶ εὐστομοῦμεν, καὶ εὐσεβοῦμεν, καὶ αἰτίας εὐλόγους λέγομεν.

Caſio Presbytero. 26.

Haud graue eſt, optime vir, eos qui grauia perpetrarunt, grauibus quoque pœnis affici. At eos, qui nihil graue commiſerũt, grauia perpeti, prorſus grauiſſimum eſt. Quonam igitur modo iis, qui hoc nomine conqueruntur, ſatisfaciamus? Non alia nimirum, vt opinor, ratione, quàm ſi de prioribus dicamus, quòd iuſtè: de poſterioribus autem, quòd explorandæ ipſorũ virtutis cauſa perpetiãtur. Diuina enim iuſtitia eos vlciſcitur, his autem coronarum materiam & ſegetem ſubminiſtrat. Nam qui flatum conſtituunt, de vtriſque quid reſpondeant, non habebunt. Neque enim æquum eſt, aut eum qui aliquid perpetrare coactus eſt, aut eum qui nihil graue perpetrauit, grauia perpeti. At nos qui Prouidentiam eſſe affirmamus, & proba dicimus, & pietatem colimus, & cauſas rationi conſentaneas habemus.

Ἀγαθῷ πρεσβυτέρῳ. κζ.

Τὰ μὲν τὸν ἑνικὸν ὑπερβαίνοντα ἀριθμὸν ἐν τῇ ἱερᾷ γραφῇ τῆς τῶν ὑποστάσεων διαφορᾶς ἐστι παραστατικά· τὰ δ᾽ ἑνικῶς ἐξενηνεγμένα τῆς ταυτότητος τῆς φύσεως. τὰ μὲν γὰρ εἴρηται, ἵνα Σαβέλλιος, καὶ Ἰουδαῖοι ἐπιστομισθῶσι. τὰ δ᾽ ἵνα Ἄρειος καὶ Εὐνόμιος, καὶ Ἕλληνες στηλιτευθῶσιν. οἱ γὰρ πλατύνοντες μὲν εἰς τὴν ἁγίαν τριάδα τὸν τῶν ἰδιοτήτων ἀριθμόν, συστέλλοντες δὲ εἰς μίαν οὐσίαν, ὀρθότατα δογματίζουσι, καὶ ταῖς τῶν οὐρανίων χρησμῶν ἕπονται διδασκαλίαις, μήτ᾽ εἰς πολυθεΐαν διὰ τῆς φύσεως διαφορὰν ἐκπίπτοντες, μήτ᾽ εἰς Ἰουδαϊσμόν, διὰ τὴν τοῦ ἑνὸς προσώπου σύστασιν ὀλισθαίνοντες.

Agatho Presbytero. 27.

Quæ ſingularem numerum in ſacra Scriptura ſuperant, perſonarum differentiam indicant. Quæ autem ſingulariter enunciata ſunt, naturæ identitatem. Illa enim idcirco dicta ſunt, vt Sabellio & Iudæis ora obſtruantur. Hæc autem vt Arrius & Eunomius ac Gentiles obterentur. Nam qui proprietatum numerum in ſanctam Trinitatem porrigunt, ac rurſum in vnam ſubſtantiam contrahunt, ij rectiſſimè ſentiunt, ac cæleſtium oraculorum doctrinam ſequuntur, vt qui nec per naturarũ diſcrimen in plurium deorum cultum cadunt, nec per vnius perſonæ aſſertionem in Iudaiſmum prolabantur.

Ἀφθονίῳ ἐπισκόπῳ. κη.

Ἀπὸ τῶν ὁμολογουμένων τὰ ἀμφίβολα χρὴ κρίνεσθαι, οὐκ ἀπὸ τῶν ἀμφιβόλων τὰ ὁμολογούμενα· οἷον τί

Aphthonio Epiſcopo. 28.

Per ea quæ certa & confeſſa ſunt, de dubiis iudicandum eſt, non autem per dubia & ambigua de certis & indubitatis.